UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Aphthonio Episcopo. 28.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Κασίῳ πρεσβυτέρῳ. κϛ'.

Οὐκ ἔστιν, ὦ βέλτιστε, δεινὸν, τὸ δεινὰ πράξαντας, δεινὰ καὶ παθεῖν. τὸ δὲ μηδὲν δεινὸν πράξαντας, δεινὰ παθεῖν, πάντη δεινότατον. πῶς οὖν τοῖς ἐγκαλοῦσι περὶ τούτου ἀπολογησαίμεθα; οἶμαι οὐδαμῶς ἄλλως, ἢ περὶ μὲν τῶν πρώτων λέγοντες, ὅτι δικαίως· περὶ δὲ τῶν δευτέρων, ὅτι δοκίμως. ἡ γὰρ δίκη τοὺς μὲν ἠμύνατο, τοῖς δὲ στεφάνων ὑπόθεσιν προὐξένησεν, οἱ γὰρ γένεσιν ὁριζόμενοι, περὶ ἀμφοτέρων ἀπορήσουσιν ἀποκρίνασθαι. οὐ γὰρ δίκαιον, οὔτε τὸν ἀναγκασθέντα δρᾶσαί τινα, οὔτε τὸν μηδὲν δράσαντα δεινὸν, δεινὰ παθεῖν. οἱ δὲ πρόνοιαν εἶναι διαβεβαιούμενοι, καὶ εὐστομοῦμεν, καὶ εὐσεβοῦμεν, καὶ αἰτίας εὐλόγους λέγομεν.

Caſio Presbytero. 26.

Haud graue eſt, optime vir, eos qui grauia perpetrarunt, grauibus quoque pœnis affici. At eos, qui nihil graue commiſerũt, grauia perpeti, prorſus grauiſſimum eſt. Quonam igitur modo iis, qui hoc nomine conqueruntur, ſatisfaciamus? Non alia nimirum, vt opinor, ratione, quàm ſi de prioribus dicamus, quòd iuſtè: de poſterioribus autem, quòd explorandæ ipſorũ virtutis cauſa perpetiãtur. Diuina enim iuſtitia eos vlciſcitur, his autem coronarum materiam & ſegetem ſubminiſtrat. Nam qui fatum conſtituunt, de vtriſque quid reſpondeant, non habebunt. Neque enim æquum eſt, aut eum qui aliquid perpetrare coactus eſt, aut eum qui nihil graue perpetrauit, grauia perpeti. At nos qui Prouidentiam eſſe affirmamus, & proba dicimus, & pietatem colimus, & cauſas rationi conſentaneas habemus.

Ἀγαθῷ πρεσβυτέρῳ. κζ'.

Τὰ μὲν τὸν ἑνικὸν ὑπερβαίνοντα ἀριθμὸν ἐν τῇ ἱερᾷ γραφῇ τῆς τῶν ὑποστάσεων διαφορᾶς ἐστι παραστατικά. τὰ δ' ἑνικῶς ἐξενηνεγμένα τῆς ταυτότητος τῆς φύσεως. τὰ μὲν γὰρ εἴρηται, ἵνα Σαβέλλιος, καὶ Ἰουδαῖοι ἐπιστομισθῶσι. τὰ δ' ἵνα Ἄρειος καὶ Εὐνόμιος, καὶ Ἕλληνες στηλιτευθῶσιν. οἱ γὰρ πλατύνοντες μὲν εἰς τὴν ἁγίαν τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμὸν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότατα δογματίζουσι, καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἕπονται διδασκαλίαις, μήτ' εἰς πολυθεΐαν διὰ τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μήτ' εἰς Ἰουδαϊσμὸν, διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν ὀλισθαίνοντες.

Agatho Presbytero. 27.

Quæ ſingularem numerum in ſacra Scriptura ſuperant, perſonarum differentiam indicant. Quæ autem ſingulariter enunciata ſunt, naturæ identitatem. Illa enim idcirco dicta ſunt, vt Sabellio & Iudæis ora obſtruantur. Hæc autem vt Arrius & Eunomius ac Gentiles obterentur. Nam qui proprietatum numerum in ſanctam Trinitatem porrigunt, ac rurſum in vnam ſubſtantiam contrahunt, ij rectiſſimè ſentiunt, ac cæleſtium oraculorum doctrinam ſequuntur, vt qui nec per naturarũ diſcrimen in plurium deorum cultum cadunt, nec per vnius perſonæ aſſertionem in Iudaiſmum prolabantur.

Ἀφθονίῳ ἐπισκόπῳ. κη'.

Ἀπὸ τῶν ὁμολογουμένων τὰ ἀμφίβολα χρὴ κρίνεσθαι, οὐκ ἀπὸ τῶν ἀμφιβόλων τὰ ὁμολογούμενα. οἷον τί

Aphthonio Epiſcopo. 28.

Per ea quæ certa & confeſſa ſunt, de dubiis iudicandum eſt, non autem per dubia & ambigua de certis & indubitatis.

Verbi gratia: Cùm imaginis ſomnium à regis Babylonij animo auolauit, atque ipſe nõ modò eius rei, cuius ſpecies ipſi obiecta fuerat, interpretationem, ſed hoc ipſum quoque quod viderat, ſcire cuperet, tum Daniel non priùs ea, quæ quærebantur expoſuit, quàm ea, quæ perſpicua & manifeſta erant, enarraſſet, atque ita de rebus dubiis fidem ſibi cõciliaſſet, omnémque à ſe ſuſpicionem propuliſſet: Siquidẽ de certis atque confeſſis rebus doctrina, fictæ & commentitiæ interpretationis accuſationem de medio tollebat.

Hermogeni Epiſcopo. 29.

Cùm morũ vniuſcuiuſque ac vitæ perſpicuum argumentum ſit eorum, qui cum ipſo degunt, vitæ ratio, ne mireris, ſi Euſebius Martinianum, Zoſimum, Maronem, alióſque eiuſdem farinæ honore afficit. Quemadmodum enim ſi virtutis amore teneretur, probis viris haudquaquam abire anteferret: ſic quia collactanea & chara ipſi eſt improbitas, iiſdem quoque hominibus vtitur.

Archontio Presbytero. 30.

Quia non ob aduerſariorum imbecillitatem victoriam aſſequitur, ſed ob viriũ ſuarum magnitudinem fortes viros ſuperat, clarus atque illuſtris eſt, dignúſque qui publico præconio celebretur. Quare ob vnum aut alterum ſuperatũ ne glorieris. Nam tum denique victor verè prædicaberis, ſi ſumma virtute præditos ſuperes.

Ophelio Grammatico. 31.

Tritis ac peruulgatis omiſſis, apertè, quod ſentio, dicam: etiam quibuſdam videri poſſim nouam interpretationis viam inire. ὁ πρωτότοκος, id eſt primogenitus, ſi ſecunda ſyllaba acuatur, eũ qui primus natus eſt, ſignificat. Si autem penultima, eum, qui primùm genuit. Atque id vobis præſertim, quod Homeri lectio delectat, compertum & exploratum eſt.

λέγω, ὁπηνίκα ἀπὸ τοῦ Βαβυλωνίου τὸ ὄναρ τῆς εἰκόνος ἀπέπτη, καὶ ἐζήτει μαθεῖν οὐ μόνον τὴν ἑρμηνείαν τοῦ δειχθέντος, ἀλλὰ καὶ αὐτὴν τὴν ὄψιν καὶ πάντες ἠπόρησαν. τότε ὁ Δανιὴλ οὐ πρῶτον τὰ ζητούμενα ἔφη, πρὶν περὶ τῶν δήλων ποιήσασθαι τὴν ἐξήγησιν. τὰ γὰρ κατὰ διάνοιαν αὐτῷ βουληθέντα ὑφηγησάμενος, ἀξιόπιστον ἑαυτὸν καὶ ἀνύποπτον περὶ τῶν ἀμφισβητουμένων καθίστη. ἡ γὰρ περὶ τῶν ὁμολογουμένων διδασκαλία, τὴν τοῦ πλάττεσθαι τὰ λεγόμενα κατηγορίαν ἀνῄρει.

Ἑρμογένει ἐπισκόπῳ. κθ.

Εἰ δεῖγμα σαφὲς τῶν ἑκάστου τρόπων ἡ τῶν συνόντων ἐστὶ πολιτεία, μὴ θαύμαζε, εἰ Εὐσέβιος τοὺς περὶ Μαρτινιανὸν καὶ Ζώσιμον καὶ Μάρωνα, καὶ τοὺς ἄλλους τοὺς ὁμοτρόπους αὐτοῖς, διὰ τιμῆς ἔχει. ὥσπερ γὰρ εἰ ἀρετῆς ἦν ἐραστής, οὐκ ἂν τῶν φιλαρέτων ἑτέρους προετίμησεν· οὕτως ἐπειδὴ σύντροφον καὶ φίλην τὴν κακίαν ἔχει, τοῖς ὁμοτρόποις χρῆται.

Ἀρχοντίῳ πρεσβυτέρῳ. λ.

Ὁ μὴ διὰ τὴν τῶν ἀντιπάλων ἀσθένειαν περιγινόμενος, ἀλλὰ διὰ τὸ μέγεθος τῆς οἰκείας ῥώμης τῶν ἰσχυρῶν κρατῶν, ἀοίδιμός ἐστι, καὶ ἀναρρήσεως ἄξιος. μὴ τοίνυν ἐναβρύνου, εἰ ἑνὸς καὶ δευτέρου κεκράτηκας. εἰ γὰρ τῶν ἄκρων εἰς ἀρετὴν περιγένοιο, ὄντως στεφανοῦχος ἀνακηρυχθήσῃ.

Ὀφελίῳ γραμματικῷ. λα.

Τὰ κατημαξευμένα παρεὶς, σαφῶς εἴποιμι τὸ νενοημένον, εἰ καὶ δόξαιμί τισι καινοτέραν ἑρμηνείας ἀνατέμνειν ὁδόν. ὁ πρωτότοκος, εἰ μὲν ἡ δευτέρα ὀξύνοιτο συλλαβή, τὸν τεχθέντα πρῶτον· εἰ δ' ἡ παρεσχάτη, τὸν πρώτως τεκόντα μηνύει. καὶ τοῦτ' ἀκριβῶς ἴστε μάλιστα ὑμεῖς οἱ ὁμηρίζοντες. πρωτιτόκος γὰρ ἡ πρώτως τε-

κοῦσα